# Epistula (e cod. Esc. gr. 234)

Αὐτὰς ὄντως ἐπὶ τῆς γλώττης φέρεις τὰς Χάριτας, καί μοι δοκεῖς ὡς τέμενος αὐτῶν, καὶ νεὼς ἐνταῦθά που σοι καθίδρυται καὶ θέλγει τὰς θεάς, ψυχὴ καθαρῷ πλήκτρῳ ποικίλως ὑπηχοῦσα τῇ γλώττῃ· ὅθεν χαίρουσι ταύτῃ μᾶλλον ἢ Νάξον ὁρῶσαι, ἣν καὶ νῆσον εἶναι Χαρίτων λόγος κατέχει· ἔνθα καὶ Διόνυσος τῆς Ἀριάδνης ἡττήθη καὶ σύνοικος ἦν. Ἀλλ' εἰς καλὸν ἡμῖν ὁ Σεμέλης ἐπῆλθε τῷ λόγῳ· ὅς, εἰ μὴ θεὸς ἦν, ὅσης ἂν ἡμῖν τῆς κατηγορίας ἀπέλαυσεν, ἄνδρα παριδὼν πένητα μὲν κἀκ τῶν στρωμάτων αὐτῶν ὀνειροπολοῦντα τοὺς φόρους, Μούσαις δ' ἄλλως ἀνειμένον καὶ Χάρισιν. Εἰς μικρὸν εἶχε τὸ γῄδιον, ὦ Διόνυσε, καὶ ταῖς ἐντεῦθεν ἐπανεῖχεν ἐλπίσι, τοῦτο μένων λαβεῖν, ὃ ταῖς ἀμπέλοις ἐδόκει διδόναι· τί μὴ πολὺς ἐπελθὼν βριθούσας αὐτὰς ἀπέδειξε τῷ καρπῷ; εἴθε καὶ ληνῶν ἐπέβης, καὶ βακχικὸν ἐπεχόρευσας, καὶ οὐδὲν τοῦ γλεύκους ὑπῆρχε κενόν· ὅθεν ἔχων πλούτου καλῶς, ἐχόρευσεν ἂν ὑφ' ἡδονῆς καὶ μουσικώτερος ἦν. Βούλει μαθεῖν καὶ ὅ τι πρὸς ταῦτά φησιν ὁ Διόνυσος; ὡς "οὐκ ἔστιν λόγων ἅμα καὶ χρημάτων πλουτεῖν· ὅθεν" φησὶν "ὑπεξείων δὲ τοὺς βότρυς, ὅπως αὐτῷ μᾶλλον ἐπασκήσω τὴν γλῶτταν· ἐπεὶ καὶ οἱ τέττιγες μόνῃ τῇ δρόσῳ τρεφόμενοι ὅλας ἐν αὐτοῖς χωροῦσι τὰς Μούσας, καὶ εἴποις ἂν ἀκούων ὡς ἄνθρωποί τε ἦσαν καὶ γεγόνασι τέττιγες". Οὐκοῦν στέργειν τοῖς παροῦσιν εἰκός, κἂν οἱ πράκτορες ἐνοχλῶσιν, ᾆδε μόνον αὐτοῖς, καὶ τῶν χρημάτων εὐθὺς ἐπιλήσονται.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.